[1]Καὶ ἐπιστραφέντες ἀπήραμεν εἰς τὴν ἔρημον ὁδὸν θάλασσαν 2
ἐρυθράν, ὃν τρόπον ἐλάλησεν κύριος πρός με, καὶ ἐκυκλώσαμεν
τὸ ὄρος τὸ Σηιρ ἡμέρας πολλάς. [2]καὶ εἶπεν κύριος πρός με [3]Ἱκα- 2 3
νούσθω ὑμῖν κυκλοῦν τὸ ὄρος τοῦτο, ἐπιστράφητε οὖν ἐπὶ βορ-
ρᾶν· [4]καὶ τῷ λαῷ ἔντειλαι λέγων Ὑμεῖς παραπορεύεσθε διὰ τῶν 4
ὁρίων τῶν ἀδελφῶν ὑμῶν υἱῶν Ησαυ, οἳ κατοικοῦσιν ἐν Σηιρ, καὶ
φοβηθήσονται ὑμᾶς καὶ εὐλαβηθήσονται ὑμᾶς σφόδρα. [5]μὴ συνά- 5
ψητε πρὸς αὐτοὺς πόλεμον· οὐ γὰρ μὴ δῶ ὑμῖν ἀπὸ τῆς γῆς αὐ-
τῶν οὐδὲ βῆμα ποδός, ὅτι ἐν κλήρῳ δέδωκα τοῖς υἱοῖς Ησαυ τὸ
ὄρος τὸ Σηιρ. [6]βρώματα ἀργυρίου ἀγοράσατε παρ᾽ αὐτῶν καὶ φά- 6
γεσθε καὶ ὕδωρ μέτρῳ λήμψεσθε παρ᾽ αὐτῶν ἀργυρίου καὶ πίεσθε.
[7]ὁ γὰρ κύριος ὁ θεὸς ἡμῶν εὐλόγησέν σε ἐν παντὶ ἔργῳ τῶν 7
χειρῶν σου· διάγνωθι πῶς διῆλθες τὴν ἔρημον τὴν μεγάλην καὶ
τὴν φοβερὰν ἐκείνην· ἰδοὺ τεσσαράκοντα ἔτη κύριος ὁ θεός σου
μετὰ σοῦ, οὐκ ἐπεδεήθης ῥήματος. — [8]καὶ παρήλθομεν τοὺς ἀδελ- 8
φοὺς ἡμῶν υἱοὺς Ησαυ τοὺς κατοικοῦντας ἐν Σηιρ παρὰ τὴν ὁδὸν
τὴν Αραβα ἀπὸ Αιλων καὶ ἀπὸ Γασιωνγαβερ καὶ ἐπιστρέψαντες
παρήλθομεν ὁδὸν ἔρημον Μωαβ. [9]καὶ εἶπεν κύριος πρός με Μὴ 9
ἐχθραίνετε τοῖς Μωαβίταις καὶ μὴ συνάψητε πρὸς αὐτοὺς πόλεμον·
οὐ γὰρ μὴ δῶ ὑμῖν ἀπὸ τῆς γῆς αὐτῶν ἐν κλήρῳ, τοῖς γὰρ υἱοῖς
Λωτ δέδωκα τὴν Σηιρ κληρονομεῖν. ([10]οἱ Ομμιν πρότεροι ἐνεκά- 10
θηντο ἐπ᾽ αὐτῆς, ἔθνος μέγα καὶ πολὺ καὶ ἰσχύοντες ὥσπερ οἱ
Ενακιμ· [11]Ραφαϊν λογισθήσονται καὶ οὗτοι ὥσπερ οἱ Ενακιμ, καὶ 11
οἱ Μωαβῖται ἐπονομάζουσιν αὐτοὺς Ομμιν. [12]καὶ ἐν Σηιρ ἐνεκά- 12
θητο ὁ Χορραῖος πρότερον, καὶ υἱοὶ Ησαυ ἀπώλεσαν αὐτοὺς καὶ
ἐξέτριψαν αὐτοὺς ἀπὸ προσώπου αὐτῶν καὶ κατῳκίσθησαν ἀντ᾽
αὐτῶν, ὃν τρόπον ἐποίησεν Ισραηλ τὴν γῆν τῆς κληρονομίας αὐ-
τοῦ, ἣν δέδωκεν κύριος αὐτοῖς.) [13]νῦν οὖν ἀνάστητε καὶ ἀπάρατε 13
ὑμεῖς καὶ παραπορεύεσθε τὴν φάραγγα Ζαρετ. καὶ παρήλθομεν τὴν
φάραγγα Ζαρετ. [14]καὶ αἱ ἡμέραι, ἃς παρεπορεύθημεν ἀπὸ Καδης 14
Βαρνη ἕως οὗ παρήλθομεν τὴν φάραγγα Ζαρετ, τριάκοντα καὶ
ὀκτὼ ἔτη, ἕως οὗ διέπεσεν πᾶσα γενεὰ ἀνδρῶν πολεμιστῶν ἀπο-
θνήσκοντες ἐκ τῆς παρεμβολῆς, καθότι ὤμοσεν αὐτοῖς ὁ θεός·

2 1 ερημον > B*† || 3 επι] προς A || 4 υμας ult. > A || 5 δω] δωσω A† | δεδωκα / υιοις ησαυ] tr. B* (B*† om. τοις) || 6 βρωμ. αργυρ.] tr. A | παρ $1^0$] απ A† || 7 ημων] υμ. A | εκεινην] ταυτην A || 8 ημων] υμ. B* | επιστραφεντες A | οδον ερημον] tr. B*† || 9 υμιν / απο τ. γ. αυτων] tr. B† | σηιρ] αροηρ A: item in 18 (ροη in 9 sup. ras.), cf. 29. 36 || 10 προτεροι] το προτερον A | ισχυοντες] ισχυρον A || 11 ραφαειμ A: item in 20 (bis) || 12 προτερον] pr. το ABc | υιοι] pr. οι A | απωλεσαν ... εξετριψαν] tr. A† | της > A | εδωκεν A || 13 και απαρατε > A | ζαρετ $1^0 \frown 2^0$ A*(uid.) || 14 γενεα] pr. η A | αποθνησκ. > A*(uid.) | αυτοις ο θεος] αυ. κυριος ο θ. Bc, κυριος αυτοις A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/339 UNIVERSITÄT LEIPZIG